Σχόλια. Νὴ τὰν κόραν.] τὴν Περσεφόνην. τουτέστι τὴν κόρον. τὴν πρὸς τὸ τρέφεσθαι μέχρι κόρου ὕλην. τοῖς δὲ περὶ Σικελίαν τὸ κατὰ κόρης ὀμνύειν ἐνεφιλοχώρει. ἐντεῦθεν γὰρ ὁ ᾅδης αὐτὴν ἁρπάσαι μυθεύεται, ὡς οἱ τὰ τοιαῦτά γε ἀλληγορῆσαι δεινοί, διὰ τὴν γινομένην ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν. δωρεῖζει δὲ ἐπιτηδείως. ἐπίδεσμον δὲ τὸν ἐπὶ τῇ πληγῇ δεσμόν. Κλητῆρες ἐπιλείψουσι.] ἐπιλείψουσι μάρτυρες τοὺς καλή- γοροῦντας. Αἴσωπον οἱ Δελφοί.] ὁ μὲν Βδελυκλέων ἀράμενος τὸν πατέρα αὐτοῦ Φιλοκλέωνα, εἴσω κομίζει. ὁ δὲ φερόμενος πλάττει μῦθον. διηγεῖται γὰρ τὸν περὶ Αἰσώπου λόγον. ὅν φασιν ἐλθόντα ποτὲ εἰς τοὺς Δελφοὺς ἀποσκῶψαι αὐτούς. ὅτι μὴ ἔχοιεν γῆν ἀφ᾽ ἧς ἐργαζόμενοι διατρέφοιντο, ἀλλὰ περιμένοιεν ἀπὸ τῶν θεοῦ θυμάτων διαζῆν. οἱ Δελφοὶ χαλεπήναντες φιάλην ἱερὰν τοῖς Αἰσώπου σκεύεσιν ὑπέβαλον. ὁ μὲν δὴ οὐκ εἰδὼς τὴν ἐς Φωκίδα φέρουσαν ὥρμησεν ὁδόν. οἱ δὲ ἐπιδραμόντες καὶ φωράσαντες, ἱεροσυλίας αὐτοῦ κατηγόρουν. ὁ δ᾽ ἐπιπέτραν οὐ πάνυ πόρρω τοῦ ἱεροῦ καὶ τῆς πόλεως ἀγόμενος ἀφ᾽ ἧς νόμιμον ἦν τοὺς ἱεροσύλους ξυνπλεῖσθαι, τὸν περὶ τοῦ κανθάρου

A μῦθον αὐτοῖς διηγήσατο. οὗ γε καὶ ἐν εἰρήνῃ μέμνηται διὰ τούτων ὁ ποιητής. ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη, μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος. ἐκεῖ δὲ τὰ εἰκότα λεχθήσεται.

CHRIST. Νὴ τὰν κόραν.] Notat Scholiastes sic dictam Proserpinam, à saturitate propter Cerealia munera quæ alimoniam dant & satiant. Solitos autem in Sicilia iurare per κόραν, Quia Orcus illinc dicitur viraginem rapuisse Persephonem,
B Quæ fabula in Allegoriam versa, ostendit seminũ in terra occultationem, atque adeò conciliationem genitalis fœturæ, vt eruditissimus scriptor Arnobius ex Ethnicorum rationibus quibus falsorum numinum crimina excusant, scriptum reliquit, lib. 5. Aduersus Gentes. Cæterùm ἐπίδεσμον ait fasciam ligando vulneri, respiciens scilicet suũ accusatorem. Quod autem ait νοῦν ἂν εἶχες πλείονα. Sic Theocritus dixit, τάχ᾽ ἂν πολὺ μᾶλλον ἔχοις νοῦν.

C

ΣΤΡΟΦΗ κώλων ια.

Χο. Ζηλῶ σε τῆς εὐτυχίας
Τὸν πρέσβυν οἷ μετέστη
Ξηρῶν τρόπων καὶ βιοτῆς.
Ἕτερα δὲ νῦν ἀντιμαθὼν,
Ἦ, μέγα τι πείσεται ἐπὶ
Τὸ τρυφερὸν καὶ μαλακόν.
Τάχα δ᾽ ἂν ἴσως οὐκ ἐθέλοι.
Τὸ γὰρ ἀποστῆναι χαλεπὸν
Φύσεως ἣν ἔχει τις ἀεί.
Καίτοι πολλοὶ ταῦτ᾽ ἔπαθον
Ξυνόντες γνώμαις ἑτέρων
Μετεβάλοντο τοὺς τρόποις.

STROPHA Col. xij.

CH. Felix quidem est ille senex,
Si desinat mores suos
D Victumq; siccum atq; rudem,
Aliaq; si doctus erit
Atq; animum applicet ad
Mollitiam & delicias.
Vereor vt ad se redeat,
Adeò naturam atque habitum
Facilè vertere haud poteris.
Quamuis multis accidit hoc,
Suos vt mores moniti
E Ab amicis reliquerint.

Σχόλια. Ζηλῶ σε τῆς εὐτυχίας.] τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν. ἔστι γοῦν ἡ παροῦσα στροφὴ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις διτροχαίοις διιάμβοις διασπονδείοις ἰωνικοῖς καὶ παίωσι ιβ. καὶ ἡ ἀντιστροφὴ τοσούτων. ὧν τὸ μὲν δεύτερον καταληκτικὸν ἤτοι ἐφθημιμερές. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα, τὰ μὲν τετρασυλλάβους ἔχοντα πόδας, τὰ δὲ πεντασυλλάβους. διαλύονται γὰρ αἱ μακραὶ συλλαβαὶ ὥσπερ ἐπὶ τῶν ἰάμβων καὶ τροχαίων ὡς εἴρηται εἰς δύο βραχείας, οὕτω καὶ ἐπὶ τῶν τετρασυλλάβων ποδῶν. εὕρηται γὰρ καὶ χορίαμβος πεντασύλλαβος. καὶ διίαμβος καὶ διτρόχαιος καὶ ἰωνικὸς καὶ παίων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Ἐπὶ τὸ τρυφερόν.] ἀντὶ ἐπὶ τὸ τρυφᾶν μαλακῶς. Γνώμαις ἑτέρων.] ἀντὶ μεταπεισθέντες ἐκ παραινέσεως ἑτέρων.

CHR. Ζηλῶ σε τῆς] Hæc carminis species tam in Stropha quã in Antistropha dicitur κατὰ σχέσιν, quia inter se respondent & numero versuum & similitudine. Constat vna quęque duodecim colis choriambicis mixtis Epitritis, Ditrochæis, Diiambis, Dispondæis Ionicis & Pæonibus. secundus versus est Dimeter catalecticus, vel vt vocant ἐφθημιμερὴς similis Anacreonticis multis. Reliqui omnes
F sunt Dimetri Acatalecti, aut quadrisyllabis constantes pedibus aut Quinque-syllabicis. Longæ enim syllabę etiam hic soluuntur in duas breues, proinde vt in disyllabis Iambo & Trochæo, Sic inuenias choriambum hic quinque syllabarum, cum duplici Iambo & Ditrocheo & Ionico & Pæone. Τὸ γὰρ ἀποστῆναι] Exstat apud Athen. historia de Tirynthiis quę Horatianam sententiam cõfirmat, Naturã expellas furca, tamẽ vsque recurret.

G

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιβ.

Πολλοῦ δ᾽ ἐπαίνου παρ᾽ ἐμοὶ
Καὶ τοῖσι εὖ φρονοῦσι,

ANTISTROPHA Col. xij.

Multam ergo laudem inueniens
Me iudice & prudentibus